ὁμοίως τῶν ἀπολέσθαι δυναμένων. καὶ πάλιν τοῦ Εὐριπίδου λέγοντος (fr. 958)

'τίς δ' ἐστὶ δοῦλος τοῦ θανεῖν ἄφροντις ὤν;'

ὑπακουστέον ὅτι καὶ περὶ πόνου καὶ νόσου τὰ αὐτὰ εἴρηκεν. ὡς γὰρ φαρμάκου πρὸς ἓν ἁρμόσαντος νόσημα τὴν δύναμιν καταμαθόντες οἱ ἰατροὶ μετάγουσι καὶ χρῶνται πρὸς πᾶν τὸ C
παραπλήσιον, οὕτω καὶ λόγον κοινοῦν καὶ δημοσιεύειν τὴν χρείαν δυνάμενον οὐ χρὴ περιορᾶν ἑνὶ πράγματι συνηρτημένον ἀλλὰ κινεῖν ἐπὶ πάντα τὰ ὅμοια, καὶ τοὺς νέους ἐθίζειν τὴν κοινότητα συνορᾶν καὶ μεταφέρειν ὀξέως τὸ οἰκεῖον, ἐν πολλοῖς παραδείγμασι ποιουμένους μελέτην καὶ ἄσκησιν ὀξυηκοΐας, ἵνα τοῦ μὲν Μενάνδρου λέγοντος (fr. 114)

'μακάριος ὅστις οὐσίαν καὶ νοῦν ἔχει'

τοῦτο καὶ περὶ δόξης καὶ περὶ ἡγεμονίας καὶ περὶ λόγου δυνάμεως εἰρῆσθαι νομίζωσι, τὴν δὲ πρὸς τὸν Ἀχιλλέα τὸν ἐν Σκύρῳ καθήμενον ἐν ταῖς παρθένοις γεγενημένην ἐπίπληξιν D
ὑπὸ τοῦ Ὀδυσσέως (Tr. adesp. 9)

'σὺ δ', ὦ τὸ λαμπρὸν φῶς ἀποσβεννὺς γένους,
ξαίνεις, ἀρίστου πατρὸς Ἑλλήνων γεγώς;'

καὶ πρὸς τὸν ἄσωτον οἴωνται λέγεσθαι καὶ πρὸς τὸν αἰσχροκερδῆ καὶ πρὸς τὸν ἀμελῆ καὶ ἀπαίδευτον 'πίνεις, ἀρίστου πατρὸς Ἑλλήνων γεγώς, ἢ κυβεύεις ἢ ὀρτυγοκοπεῖς ἢ νὴ Δία καπηλεύεις ἢ τοκογλυφεῖς, μηδὲν μέγα φρονῶν μηδ' ἄξιον τῆς εὐγενείας';

'μὴ πλοῦτον εἴπῃς. οὐχὶ θαυμάζω θεόν
ὃν χὠ κάκιστος ῥᾳδίως ἐκτήσατο.' (Eur. fr. 20) E

οὐκοῦν μηδὲ δόξαν εἴπῃς μηδὲ σώματος εὐμορφίαν μηδὲ στρατηγικὴν χλαμύδα μηδ' ἱερατικὸν στέφανον, ὧν καὶ τοὺς κακίστους ὁρῶμεν τυγχάνοντας.

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id40391017X/75 UNIVERSITÄT LEIPZIG